Περὶ μὲν οὖν Παρμενίδου, καὶ Μελίσσου, καὶ Ξενοκράτους ἀποχρώντως εἴρηται ἐν τῷ πρώτῳ τῆς Φυσικῆς Ἀκροάσεως, εἰ μή τις βαθυτέραν ἐρεῖ τὴν γνώμην τούτων, ἢ ὡς ἀναιρεθῆναι φυσικοῖς ἐπιχειρήμασιν. οὔτε γὰρ ἐκεῖνοι περὶ φυσικῶν ἔλεγον, ὥς που μὴ εἰδότες πολλά τε εἶναι ταῦτα, καὶ κινεῖσθαι συνεχῶς, ἀλλὰ μᾶλλον περὶ τοῦ ἀληθῶς ὄντος, καὶ ἑνὸς ἀδιαιρέτου, καὶ ἀκινήτου. ὥστε καθά φησι καὶ Πλάτων βαθέος δεῖσθαι κολυμβητοῦ τὴν τοῦ Παρμενίδου δόξαν. ἐκεῖνος γὰρ τὸ Θεῖον ἓν καὶ ἀκίνητον, ἀγέννητόν τε καὶ ἄφθαρτον ἐγνωκώς, τ᾽ ἄλλα πρὸς ἐκεῖνο οὐκ ὄντα μᾶλλον, ἢ ὄντα ἐνόμιζε, τούτων δὲ καὶ τὸ πλῆθος ἠπίστατο, καὶ τὰς κινήσεις, καὶ τὰς ἀρχὰς ἐτίθετο τὸ θερμὸν καὶ ψυχρόν. ἀλλ᾽ ἡ περὶ τούτων ἔρευνα μακροτέραν ἀπαιτεῖ θεωρίαν. ὅθεν τῶν Φυσικωτέρων ἁψώμεθα. παραλείπωμεν οὖν ταῦτα, ἐπειδήπερ οὐ δεῖται φυσικῆς ἀναιρέσεως, εἴτε φυσικῶς λεγόμενα, εἴτε ἄλλως. εἰ γὰρ Φυσικῶς λέγεται, προφανῶς ἄτοπα, εἰ δὲ Θεολογικῶς, οὐκ ἔστι τῆς παρούσης σκέψεως. Τῶν δὲ φυσιολογούντων τὰς μίαν ποιοῦντας ἀρχὴν ἀνατρέπει ὁ Φιλόσοφος πρώτῳ μὲν Φυσικῶν, μορίῳ να΄. Ὅτι δεῖ τὰς ἀρχὰς ἐναντίας εἶναι, ὡς δείκνυσι σαφῶς, τρίτῳ δὲ περὶ Οὐρανοῦ, μορίῳ μα΄. ὅτι πλείους εἰσὶν αἱ ἁπλαῖ κινήσεις, ταύτας δὲ ἀδύνατον ἀπὸ μιᾶς ἀρχῆς παράγεσθαι. πρώτῳ δὲ περὶ γενέσεως καὶ φθορᾶς, μορίῳ ι΄. ὅτι μιᾶς τιθεμένης τῆς ἀρχῆς, συναναιρεῖται ἡ ἁπλῆ γένεσις. Τὸ γὰρ ἓν σῶμα ἀγέννητον ὅλως ἐστίν, ἵνα μὴ φθαρὲν συναπόλλυται τὰ ἄλλα πάντα, μεταβλητὸν δὲ κατὰ συμβεβηκὸς μόνον, ὡς ὁμοφυῆ εἶναι πάντα συμβεβηκόσι μόνον ἀλλήλων διενηνοχότα, ὃ δὴ καὶ ταῖς αἰσθήσεσι μάχεται, καὶ τὴν καλλονὴν ἀναιρεῖ τοῦ παντός, μᾶλλον δὲ οὐδὲ ἀλλοίωσις ἐνδέχεται γίνεσθαι μιᾶς οὔσης τῆς ἀρχῆς, ὁδὸς γὰρ εἰς γένεσιν ἡ κυρίως ἀλλοίωσις. πλείω δὲ κατὰ τούτων ὅ, τε Φιλόσοφος συνεγράψατο πρώτῳ τῶν μετὰ τὰ Φυσικά, ἀπὸ τοῦ ι΄. ἕως τοῦ κε΄. τεμμαχίου, καὶ Ἱπποκράτης ἐν τῷ περὶ φύσεως ἀνθρώπου, καὶ Γαληνὸς ἐν τῷ περὶ στοιχείων. σφάλλονται δὲ καὶ ὅσοι τῶν στοιχείων ἓν ἀρχὴν ποιοῦσι. καὶ γὰρ ὡς Ἀριστοτέλης δείκνυσι δευτέρῳ περὶ γενέσεως, καὶ φθορᾶς, ἀπὸ τοῦ κδ΄. μορίου ἄχρι τοῦ λϛ΄. πάντα τὰ στοιχεῖα εἰς ἄλληλα μεταβάλλει, φθείρεταί τε καὶ γίγνεται εἰς ἄλληλα καὶ ἐξ ἀλλήλων. ὅθεν οὐδενὶ λόγῳ δείκνυται ὁποῖόν τι τούτων ἀρχοειδέστερον τῶν ἄλλων. ἔτι δὲ ἐν τῷ δευτέρῳ περὶ γενέσεως καὶ φθορᾶς, καὶ τρίτῳ Φυσικῶν, μορίῳ μα΄. ἡ θέσις ἀνασκευάζεται τῶν τιθεμένων σῶμά τι πρότερον τῶν τεσσάρων στοιχείων, ἀρχὴν τῶν φύσει συνεστώτων. σῶμα γὰρ ἅπαν, ἢ στοιχεῖον ἐστίν, ἢ ἐκ στοιχείων, ὡς ἡ αἴσθησις μαρτυρεῖ, εἰ μή τις τὸ τοιοῦτον σῶμα οὐ Φυσικόν, ἀλλὰ Μαθηματικὸν ἐρεῖ. τὸ γὰρ φυσικὸν κινητὸν ἅμα καὶ αἰσθητόν. αἰσθηταὶ δὲ αἱ τῶν στοιχείων ποιότητες

εἰσὶ

ΙΩΑΝΝΙΝΑ 2006

εἰσὶ μόναι, ὥστε καὶ τὸ τοιοῦτον σῶμα ἢ στοιχεῖον, ἢ ἐκ στοιχείων ἔσται. ὡσαύτως δὲ καὶ ὅσοι τὴν ἀρχὴν μίαν μὲν, ἄπειρον δὲ τιθέασιν, ἵνα μὴ γένεσις ἐκλείπῃ, διελέγχοντο τοῦ Φιλοσόφου τρίτῳ Φυσικῶν ἀπὸ τοῦ λγ′. ἕως τοῦ ος′. καὶ γὰρ ἐπειδὴ τὸ ἄπειρον πανταχοῦ ἐστὶ, καὶ μηδέσιν ὅροις περιέχεται, οὔτε κινεῖν, οὔτε κινεῖσθαι δυνατὸν, οὔτε πάσχειν, οὔτε ἐνεργεῖν, οὔτε σχήματι μορφοῦται, ὥστε μήτε γένεσιν εἶναι τιθεμένης ἀπείρου τῆς ἀρχῆς, οὔτε ἀλλοίωσιν, οὔτε φυσικήν τινα κίνησιν, οὐδὲ κινδυνεύει ἐκλελοιπέναι τὴν γένεσιν, ὄντος πεπερασμένου τοῦ στοιχείου. ἡ γὰρ ὕλη ἀΐδιος, καὶ ἡ τοῦ εἴδους φθορὰ γένεσις ἑτέρου, μάλιστά γε ἀδιαλείπτως περιαγομένου τοῦ Ἡλίου, τῇ τε προσόδῳ καὶ ταῖς ἀποστάσεσι γεννῶντος τὰ πάντα, ὡς εἴρηται περὶ γενέσεως καὶ φθορᾶς δευτέρῳ, μορίῳ νς′. ἔτι δὲ δευτέρῳ περὶ ψυχῆς, μορίῳ λδ′. καὶ πέμπτῳ, τὰ εἴδη τῷ πολλαπλασιασμῷ τῶν ἀτόμων διασώζεσθαί φησι, τῶν πραγμάτων φύσει πως ἐφιεμένων ἐξομοιοῦσθαι Θεῷ κατ᾽ ἀϊδιότητα ὅσον ἐφικτόν. οἱ δ᾽ ἀντικείμενοι λόγοι ῥᾳδίως ἀνασκευάζονται. λαμβάνονται γὰρ ἐκ μιᾶς μόνης περιστάσεως τῶν εἰς σύστασιν ἀρχῆς ἀναγκαίων. εἶτα ἀπαντῶνται ὁρῶντες καὶ τοῖς στοιχείοις ἐνεῖναι τὰς τῆς ἀρχῆς ἰδιότητας. ὅθεν ὀρθῶς ἐπιφέροιτ᾽ ἂν, ἀρχάς πως εἶναι τὰ στοιχεῖα, ἀλλ᾽ οὐ τὴν ἁπλῶς οὐδὲ τὴν πρώτην. διὸ δὴ καὶ οἱ τὰ στοιχεῖα ἀρχὰς τιθέμενοι σώζουσι μὲν μέχρι τινὸς τὴν γένεσιν, ἀλλ᾽ οὐχ ἁπλῶς, ὡς ὁ Ἀριστοτέλης ποιεῖ. ὁμοίως δὲ ἁμαρτάνουσι καὶ τῶν πεπερασμένας ποιούντων τὰς ἀρχὰς, οἱ δύω μόνας ἀποφαινόμενοι. ἐπειδὴ γὰρ ἀδύνατον ἐκ τοῦ τυχόντος ὁτιοῦν γίνεσθαι, ὡς πρώτῳ Φυσικῶν δείκνυται, ἀλλ᾽ ἀεὶ ἐκ τῶν ἐναντίων γίγνεται τὰ ἐναντία, ἀνάγκη ἐστὶ πλείους εἶναι μιᾶς τὰς ἀρχὰς, ἀλλ᾽ οὐ δύω μόνας. τὰ γὰρ ἐναντία κοινὸν ἀπαιτοῦσιν ὑποκείμενον. οὐ γὰρ μέλαν γίνεται τὸ λευκὸν, ἀλλὰ τὸ ὑποκείμενον αὐτὸ ἐκ τοῦ λευκοῦ γίγνεται μέλαν. ὥστε παρὰ τὰ ἐναντία καὶ τρίτης ἀρχῆς ὑποκειμένης τοῖς ἐναντίοις δεῖσθαι τὴν γένεσιν. πλείους δὲ τῶν τριῶν εἶναι τὰς ἀρχὰς ὡς περιττὸν ἐξελέγχεται τοῦ Φιλοσόφου πρώτῳ Φυσικῶν, μορίῳ νς′. ὅθεν καὶ Ἐμπεδοκλῆς τὰ καλούμενα τέσσαρα στοιχεῖα ἀρχὰς τῶν ὄντων πολλαχοῦ ποιῶν διελέγχεται τοῖς τοῦ Φιλοσόφου λόγοις, μάλιστα δὲ πρώτῳ περὶ γενέσεως καὶ φθορᾶς, μορίῳ δευτέρῳ, καὶ τρίτῳ, καὶ ἑβδόμῳ, ἀπὸ τοῦ λζ′. μέχρι τοῦ ος′. καὶ πρώτῳ τῶν μετὰ τὰ Φυσικὰ, μορίῳ ιε′. ἡ δὲ ἀνασκευὴ τῆς ἐκείνου θέσεως ἐν συντόμῳ τοιάδε ἐστί. τὰ γὰρ στοιχεῖα ἐκεῖνος ἀμετάβλητα ἐτίθετο. ταῦτα δὲ ὡς ἡ πεῖρα μαρτυρεῖ φθείρεται, καὶ γίνεται εἰς ἄλληλα καὶ ἐξ ἀλλήλων. συνᾴδει δὲ καὶ ὁ λόγος ἀλλοίωσιν καὶ μάχην ἐνεῖναι διϊσχυριζόμενος τοῖς ἔχουσι ποιοτήτων ἐναντίωσιν. ἔτι δὲ αἱ τῶν στοιχείων διαφοραὶ, οἵας ἔλεγεν Ἐμπεδοκλῆς εἶναι τὰς



ΙΩΑΝΝΙΝΑ 2006

πρώτας ποιότητας, καὶ τῶν δευτέρων ἐνίας χωρισαί εἰσι τῶν στοιχείων, ἢ οὐχί; εἰ γὰρ οὐ χωρισαί, οὔτε γένεσις ἐστίν, οὔτε ἀλλοίωσις. εἰ δὲ χωρισαί, ἀνάγκη τούτων ἠλλοιωμένων μεταβάλλειν τὰ στοιχεῖα. ὥστε οὐκ εἰσὶν ἀρχαὶ τῶν ὄντων τὰ στοιχεῖα, δεῖ γὰρ τὰς ἀρχὰς ἀεὶ μένειν. ἔτι δὲ τὰ πάντα Ἐμπεδοκλῆς ἐκ τῶν στοιχείων γεννᾷ, ἀδυνάτον δὲ μηδενὸς ἄλλου ποιοῦντος, ἐκ τῶν στοιχείων μόνον τὰς ἐν ζώοις ἐνεργείας ἀνακύπτειν. ἔπειτα ἀναιρεῖ Ἐμπεδοκλῆς τὸ φυσικὸν εἶδος, τὴν γὰρ φύσιν τῶν μικτῶν μίξιν εἶναί φησι, καὶ οἱονεὶ τῶν μιγνύντων στοιχείων συμφωνία, οὐκ ἀποφαίνεται δὲ τί ἄρα ἐστὶ τὸ συνδέον ταῦτα, καὶ ἐν ὁμονοίᾳ διατηροῦν. ἔτι δὲ πάντα νομίζει ἀπὸ ταὐτομάτου γενέσθαι, καὶ τυχαίως ἀνάγκῃ τῆς ὑλικῆς αἰτίας. οὐ γὰρ ἐνεργεῖν οἴεται τὴν φύσιν ἕνεκά τινος, τοῦτο δὲ δεινῶς ἄτοπον τῆς τάξεως ἀνατρεπομένης τοῦ παντός, ἀλλ' οὐδὲ τὰς ἐνεργείας τοῦ νείκους καὶ τῆς φιλίας διορίζει καλῶς, οὐ γὰρ ἀεὶ τὸ νεῖκος διακρίνει, οὐδ' ἡ φιλία συγκρίνει, πολλὰ γὰρ διὰ τὸ νεῖκος ἑνοῦται, καὶ πολλὰ ὑπὸ τῆς φιλίας διαλύεται. πῶς δὲ οὐ δυνατόν ἐστι συνιδεῖν πότερον ἀρχὴ τῶν ὄντων ὁ σφαῖρος, ἢ τὰ στοιχεῖα τοῦ σφαίρου; ταῦτα γὰρ ἀμοιβαδὸν ἐξ ἀλλήλων γίνεται, ἐκ μὲν τῶν στοιχείων ὁ σφαῖρος τῆς φιλίας νικάσης, καθάπερ ἐκ τοῦ σφαίρου τὰ στοιχεῖα κρατοῦντος τοῦ νείκους. ταῦτα μὲν οὖν Ἀριστοτέλης συνεῖρον κατὰ τοῦ Ἐμπεδοκλέους, ὃν Ἀναξαγόρου προτιμᾷ πρώτῳ τῶν μετὰ τὰ Φυσικά, μάλιστα δὲ ὡς λέγεται ἐν τοῖς περὶ Φύσεως Ἀκροάσεως, ὅτι Ἀναξαγόρας ἀπείρους ποιεῖ τὰς ἀρχάς, καίτοι μαχομένης τῇ φύσει τῆς ἀπειρίας. ὁ δὲ Σιμπλίκιος πολλὰ μὲν ὑπὲρ Ἐμπεδοκλέους διϊσχυρίζεται. ἀλλ' ἡμεῖς οὐ ζητοῦμεν τί αὖ περὶ Ἐμπεδοκλέους τοῖς ἄλλοις ἑρμηνεύεται, ἢ τί αὐτὸς ἐν τοῖς οὖσιν ἐπρέσβευεν. ἡ δὲ περὶ τῶν ἀριθμῶν Πυθαγόρειος δόξα, χαρίεσσα μὲν ἐστὶ καὶ κομψή, ἀλλ' οὐδαμῶς εἰς τὸ φιλοσοφεῖν, ἢ φυσιολογεῖν ὀρθῶς ἀναγκαία. καὶ γὰρ ἐν ταῖς ἐπιστήμαις οὐ δεῖ μεταπηδᾷν ἐκ γένους εἰς γένος, μάλιστα ἐπειδὴ τὸ ἐπίστασθαι οὐχ ἁπλῶς δι' ἀρχῶν πορίζεται, ἀλλὰ δι' ὧν ἐστὶ τὸ πρᾶγμα, καὶ οὐκ ἐνδέχεται ἄλλως ἔχειν, διὸ καὶ ἀπὸ τῶν ἀριθμῶν τὴν τῶν πραγμάτων φύσιν τεκμαίρεσθαι σαφῶς ἄτοπον. ἔτι δὲ πᾶσα ἀπόδειξις, οὐκ ἐκ τῶν κοινῶν καὶ ἀλλοτρίων ἀρχῶν, καίτοι ἀναγκαίων καὶ ἀληθῶν, ἀλλ' ἐκ τῶν ἰδίων καὶ προσεχῶν συνίσταται, οἱ δὲ ἀριθμοὶ καὶ τὰ πράγματα διεστήκασιν ὅλως, καὶ ἐν ἑτέροις τάττονται γένεσιν ἐπιστητοῖς. ἕψεσθε δὲ καὶ Ἀριστοτέλει ἐξελέγχοντι τὰ αὐτὰ ταῦτα πρώτῳ τῶν μετὰ τὰ Φυσικά, καὶ ιγ'. καὶ ιδ'. καίτοι Συριανὸς ἐν τῇ τοῦ κειμένου Ἑρμηνείᾳ πολλοῖς ἐμπεδῶσαι πειρᾶται τὰ τοῦ Πυθαγόρου, τοῦτο οὖν ὑποκείσθω, τῶν πραγμάτων ἀρχὰς οὐδόλως εἶναι τοὺς Ἀριθμούς, οὐδεμία γὰρ ἀπὸ τούτων πέφυκε κίνησις, ἢ πάθος, καίτοι

μὴ

ΙΩΑΝΝΙΝΑ 2006

μὴ ἀναγκαῖον ἀγνοεῖν τοὺς ἀμφὶ Πυθαγόραν συμβολικῶς ἐκθέσθαι ταῦτα, οὐχ ὥστε διὰ τῶν ἀριθμῶν τὰς προσεχεῖς καὶ μερικὰς αἰτίας ἀποφῆναι τῶν πραγμάτων. ὅτι δὲ Ἀριστοτέλης πολλαχοῦ τοῖς ἀριθμοῖς εἰς δεῖξιν κέχρηται τῶν λεγομένων, τοῦτο μηδὲν συμβάλλεται καθ᾽ ἡμῶν, ἐπειδὴ οὐκ ἀφῃρημένοις ἐκεῖνος ἀριθμοῖς χρῆται, ἀλλὰ μᾶλλον αὐτοῖς τοῖς ἀριθμητοῖς, ὥστε τὴν τελειότητα πάλιν εἶναι τῶν πραγμάτων, ἀλλ᾽ οὐ τῶν ἀριθμῶν. τῶν δὲ τὰς ἀρχὰς ἀπείρους τιθεμένων, Ἀναξαγόραν μὲν τὰ στοιχεῖα ποιοῦντα δεινῶς ἐξελέγχει ὁ Φιλόσοφος. τὰς γὰρ ἀπείρους ἀρχὰς, καὶ ταύτας οὐκ ἀριθμῷ μόνον, ἀλλὰ φύσει διαφερούσας, ἥ τε φύσις ἀποστρέφεται, καὶ οὐκ ἀποδέχεται ἡ ἐπιστημονικὴ γνῶσις. καὶ γὰρ ἐν μὲν τῇ φύσει αἵ τε ἅπασαι κινήσεις ὡρισμέναι εἰσὶ, καὶ τὰς αὐτῶν ἀρχὰς πεπερασμένας ἀποδεικνύουσιν, ὡς εἴρηται περὶ γενέσεως ζώων πρώτῳ, κεφ. α. τῇ δὲ ἐπιστήμῃ οὐδόλως ἐστὶ ληπτὸν ἡ ἀπειρία. ἀγνοουμένων γὰρ τῶν ἀρχῶν, πῶς αὖ δυνατὸν συνιέναι τὰ ἐξ αὐτῶν; εἶτα οὐκ ὀρθῶς Ἀναξαγόρας τὸ τῶν ὁμοιομερειῶν μέγεθος ἀόριστον ποιεῖ, ὥστε μὴ εἶναι σμικρότητος ὅρους. πραγμάτων γὰρ ἁπάντων φύσις τε, καὶ τελειότης, καὶ δύναμις, καὶ ἐνέργεια ὅροις περιέχεται, καὶ αὐτὸ δὴ τὸ μέγεθος, καὶ ἡ ποσότης ὡρισμένοις πέρασι περιλαμβάνεται. οὔτε γὰρ ἐνδέχεται ἄνθρωπον γενέσθαι μείζω τοῦ ὄρους, ἢ μύρμηκος ἐλάττω. ἔτι δὲ πῶς ἐνδέχεται ἐν παντὶ εἶναι τὰ πάντα, ὥστε πράγματι πεπερασμένῳ ἀπειράκις ἄπειρα μέρη ἐνυπάρχειν; τῶν γὰρ μερῶν ἀπείρων ὄντων, πόσης ἐστὶ μωρίας πεπερασμένον εἶναι τὸ ὅλον; ὀρθῶς οὖν Ἀριστοτέλης πρώτῳ Φυσικῶν, μορίῳ λέ. ἕως τοῦ μα. καὶ πρώτῳ τῶν μετὰ τὰ Φυσικὰ μορίῳ ις'. ἕως τοῦ ιθ'. τὴν ἐκείνου θέσιν ἀνασκευάζει. ἀνατρέπει δὲ καὶ τοὺς ἀντικειμένους λόγους. οὐ γὰρ ἀνάγκη τὰ πάντα προϋποτίθεσθαι ἐνεργείᾳ, ἵνα μήτι ἐκ τοῦ μηδενὸς γίνηται, ἀλλ᾽ ἀπόχρη εἰς γένεσιν προϋπάρχειν τὸ ὑποκείμενον. δυνάμει γὰρ παντὸς εἴδους δεκτικὸν, ἐνεργείᾳ δὲ ἄμορφόν τε καὶ ἄποιον. ὥστε τὰ ποιοῦντα ἐκ τοῦ ὑποκειμένου διὰ τῆς οἰκείας ἐνεργείας προάγειν εἰς ἐνέργειαν τὸ ὅμοιον αὐτοῖς. Δημόκριτον δὲ εἰ καὶ Ἀριστοτέλης πρώτῳ περὶ γενέσεως καὶ φθορᾶς τῶν ἄλλων Φιλοσόφων ἔοικε προτιμᾶν ὡς ἀπὸ φυσικῶν ἀρχῶν ὁρμήσαντα, καὶ περὶ τῆς φύσεως πάσης οἷόν τε ὄντα πιθανῶς διεξιέναι, ἀλλ᾽ ὅμως τρίτῳ περὶ οὐρανοῦ ἀπὸ τοῦ λζ'. ἕως τοῦ μ'. μορίου, καὶ ἀπὸ τοῦ ξέ. ἕως τέλους, καὶ ἀλλαχοῦ δεινῶς ἐξελέγχει. πρῶτον, ὅτι τὸ κενὸν ἀρχὴν τίθησιν, ὡς τῶν ὄντων τοῦ μὴ ὄντος ὄντος αἰτίου, εἶτα τὰς κινήσεις νομίζει μὴ δίχα κενοῦ γίνεσθαι δυνατὰς, καίπερ εἰ κενὸν εἴη, οὐκ ἂν ἐγένετο κίνησις ἐν αὐτῷ, ὡς δείκνυται τετάρτῳ Φυσικῶν, μορίῳ ό. ἀτοπωτέρα δὲ τούτων ἡ τῶν ἀτόμων μεγεθῶν θέσις ἀναιροῦσα τὴν τοῦ συνε-



ΙΩΑΝΝΙΝΑ 2006

χοῦς φύσιν δυνάμει διαιρετοῦ ὄντος εἰς ἀεὶ διαιρετά, ὡς ἀποδείξεσι λαμπροτέραις ἡμέρας αὐτῆς ἀποδείκνυται, καίτοι διαφέρει Λευκίππου, καὶ Δημοκρίτου Ἐπίκουρος, ὡς μαρτυρεῖ Σιμπλίκιος ἕκτῳ Φυσικῶν. οἱ μὲν γὰρ τὰ μεγέθη ἔφασκον ἀδιαίρετα, ὡς ἀμερῆ τε ὄντα, καὶ πάνυ σμικρά, ὥστε μὴ δυνατὸν ἐλάττω γενέσθαι. ὁ δὲ ἄτομα μὲν ἔλεγεν οὐ μέντοι διὰ σμικρότητα, ἀλλὰ διὰ τὴν ἀπάθειαν, μέρη δὲ ἔχοντα. ἀλλὰ καθάπερ ἔκφυλόν ἐστι μέγεθος εἶναι, καὶ μὴ ἔχειν μέρη, οὕτως ἄτοπον μέρη μὲν ἔχον μὴ δυνάμει διαιρετὸν εἶναι. ἔτι δέ, πῶς τὰς ἀτόμους φασὶ κάτω φέρεσθαι διὰ παντός; οὐ γὰρ ἂν εἶεν τῶν κούφων, καὶ φερομένων ἄνω σωμάτων ἀρχαί. τὸ γὰρ μηδὲν σῶμα ἄνω φέρεσθαι φύσει, ἀλλ' ἐκθλιβόμενον ὑπὸ τοῦ βαρυτέρου φάναι ἐναντίον ἐστὶ τῇ πείρᾳ, μάλιστα δὲ ἐπειδὴ ὁρῶμεν καθάπερ ἔνια τῶν σωμάτων ἐξωθεῖσθαι ἄνω ὑπὸ τῶν βαρυτέρων, οὕτως ὑπὸ τῶν κουφοτέρων πολλὰ θλίβεται. ὥστε τοῖς αὐτοῖς τοῦ Ἐπικούρου λόγοις ἠδύνατο αὖτις τὰ σώματα πάντα τιθέναι κατὰ θλίψιν εἰς τὰ κάτω φερόμενα. ἔτι τῶν ἀτόμων ἀποίων οὐσῶν, πῶς ἂν κινεῖσθαι ταύτας φαμέν; ἢ πῶς οὐ μιᾷ, ἀλλὰ διαφόροις κινήσεσι φέρεσθαι; τὸ γὰρ ἐκτρέπειν αὐτὰς τῆς εὐθείας διανοίας ἐστὶν ἀνάπλασμα, ἀλλ' οὐκ ἰδιότης ἀτόμων. τίνος γὰρ ἕνεκεν οὐ πᾶσαι τῆς εὐθυφορείας ἐξίστανται, καὶ ταῦτα τῆς αὐτῆς οὖσαι φύσεως; ἔπειτα οὐδόλως δυνατόν ἐστι κινεῖσθαι τὰς ἀτόμους ἀμερεῖς οὔσας. ἀνεπίδεκτον γὰρ ἐστι κινήσεως τὸ ἀδιαίρετον, ὡς ἕκτῳ Φυσικῶν δείκνυται. πρὸς τούτοις ἐμφανῶς ἄτοπον ἀποίους οὔσας τὰς ἀτόμους γεννᾶν τὴν τοιαύτην τῶν ὄντων ποικιλίαν. οὐ γὰρ ἀποχρῶσα ἡ θέσις, οὔτε ἡ τάξις, οὔτε ἡ τῶν σχημάτων διαφορά. καθάπερ εἴ τις θείη λίθους καὶ ξύλα, καὶ μυριάκις μεθαρμόσει τὴν θέσιν αὐτῶν καὶ τάξιν, οὐδὲν ἄλλο, ἢ σωρὸν λίθων καὶ ξύλων ποιήσεται, οὕτω καὶ ἐκ τῶν ἀτόμων μέγεθος μὲν ἀποτελεῖσθαι, ἴσως ἐννοεῖν δυνατόν, πάθος δὲ καὶ ποιότητα οὐδὲ συνιστάναι ῥᾴδιον, ὡς διὰ μακροτέρων δείκνυσι Γαληνὸς πρώτῳ περὶ στοιχείων. κἀκεῖνο δὲ τῇ φύσει πολέμιον, τὰς μὲν ἀρχὰς τῶν ὄντων ἀπὸ ταὐτομάτου συνιστάναι, τὴν δὲ γένεσιν τούτων βεβαίαν τε εἶναι καὶ ὡρισμένην, καὶ ἀεὶ τῆς αὐτῆς τάξεως ἐχομένην, οἷς πειθόμενος Ἀριστοτέλης δευτέρῳ Φυσικῶν, οὐ τυχαίαν ἀποφαίνεται τὴν φύσιν, ἀλλ' ὁδῷ καὶ λόγῳ βαίνουσαν, ὡσαύτως καὶ ἡ τῶν σωμάτων ἀναιρεῖται συνέχεια, ὡς ἐνόντος ἀεὶ τούτοις τοῦ κενοῦ, καὶ διασπῶντος τὰ μέρη. τί οὖν ἐστι τὸ συνέχον αὐτὰ δὴ τὰ μέρη, εἰ μὴ καὶ ἰξώδεις τινὰς ἀτόμους ἀναπλάττοιμεν; τοὺς δὲ Δημοκριτείους λόγους, τοὺς μὲν συνιστῶντας τὸ κενὸν ἀνασκευάζει τετάρτῳ Φυσικῶν Ἀριστοτέλης, τοὺς δὲ περὶ μεγεθῶν ἀτόμων ἀναιρεῖ πρώτῳ περὶ γενέσεως. καὶ ταῦτα μὲν εἴρηται τοῖς πάλαι, ὧν οὐδεὶς ἔγνω. τὴν πρώτην ὕλην, ἧς ἀγνοουμένης ἀναιρεῖται ἡ

τῶν

Ε.Υ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τῶν ὄντων γένεσις. ὡσαύτως ὀλίγοι τινὲς τούτων τὸ ποιητικὸν ἔγνωσαν αἴτιον. Ἀναξαγόρας ἐπροοιμιάσατο μὲν ἀπὸ τοῦ νοός, ἐπελάθετο δὲ ἐν τῷ ἑξῆς τούτου, ὡς λέγεται καὶ τῷ Σωκράτει ἐν τῷ τοῦ Πλάτωνος Φαίδωνι. Ἐμπεδοκλῆς δὲ συγκρίσεως μὲν καὶ διακρίσεως αἴτια ποιητικὰ τὸ νεῖκος ἀποφαίνεται καὶ τὴν φιλίαν, τῶν δὲ ἄλλων κινήσεων οὐδοτιοῦν. Δημόκριτος δὲ πρῶτον ἐν περινοίᾳ τοῦ εἴδους ἐγένετο, ἀρχὴν μέντοι τῶν πραγμάτων οὐκ ἔφασκεν, ὡς Ἀριστοτέλης φησὶ πρώτῳ περὶ ζώων μορίων κεφ. α. μᾶλλον δὲ Σωκράτης περὶ τὴν τῶν εἰδῶν γνῶσιν διέτριψεν, ἀλλὰ ταῦτα ἰδέας ἐτίθει κεχωρισμένας. Ἐν κεφαλαίῳ δὲ εἰπεῖν, πάντες οἱ πάλαι τὸ ὑλικὸν αἴτιον ἐξακριβοῦντες τῶν λοιπῶν ἄκροις ἥψαντο δακτύλοις. αὐτὸ γὰρ τὸ τελικὸν αἴτιον ὡς διὰ νέφους ἑώρων οἱ ἀρχαῖοι, καὶ αἰνιγματωδῶς ὀλίγ' ἄττα περὶ ἐκείνου φασί. μόνος οὖν Ἀριστοτέλης ὡς βρέφος παρὰ τῶν πάλαι τὴν Φιλοσοφίαν λαβὼν ἐξέθρεψέ τε, καὶ παρέλιπεν ἡμῖν ἀκμάζουσαν. καίτοι χάριν εἰδέναι χρεὼν τοῖς ἀρχαίοις, ὅτι τε πρῶτοι Φιλοσοφεῖν ἤρξαντο, καὶ ἀνιχνεῦσαι τὴν φύσιν τῶν ὄντων. ὥστε μὴ ταῖς ἐκείνων διανοίαις, ἀλλὰ τῆς ἐπιχειρήσεως εἶναι τὰ ἁμαρτήματα. πᾶσα γὰρ ἀρχὴ δυσπαρακολούθητος. ὅτι δὲ περὶ Πλάτωνος ἐνταῦθα μηδὲν ἀπεφηνάμεθα, μηδεὶς θαυμάσει. οὐ γὰρ αὐτὸν τοῖς λοιποῖς συναριθμοῦμεν, ἀλλὰ τῆς μεγαλονοίας θαυμαζόμεθα, καὶ τὰ παρ' αὐτοῦ λεγόμενα ἢ ἀκριβοῦς ἑρμηνείας δεῖσθαι, ἢ μακροτέρων ἐλέγχων οἰόμεθα. καὶ ταῦτα μὲν ἀποχρώντως εἰρήσθω, αὖθις δὲ ἐπὶ τὸν Φιλόσοφον ὁ λόγος ἐπανίτω.

## ΚΕΦΑΛΑΙΟΝ, ΤΡΙΤΟΝ.

### Ὅτι οὐδὲν ἐστὶ γινόμενον ἁπλῶς καὶ φθειρόμενον, ἀεὶ δ' ἔκ τινος.

Ἀνασκευασθέντων οὖν τῶν τοῦ Δημοκρίτου λόγων, ἵνα τὸν ἀληθῆ λόγον τῆς γενέσεως εὕρωμεν, πρῶτον θεωρητέον, πότερον, ἐστὶ γένεσις οὐσίας, ὥστε ἁπλῶς γίνεσθαί τι καὶ φθείρεσθαι, ἢ κατ' οὐσίαν μὲν οὐ κυρίως οὐδὲν γίνεται, οὐδὲ ἔστιν οὐσίας γένεσις, ἀλλὰ τῶν συμβεβηκότων ἀεί, αὐτῆς δὲ τῆς οὐσίας μηδαμῶς; εἰ γὰρ ἁπλῶς τι γίνηται, οἷον ἄνθρωπος, ἢ ξύλον, ἢ ἵππος, τοῦτο οὐσίας γένεσις. εἰ δὲ μετὰ προσθήκης καὶ ἔκ τινος, καὶ τί, τοῦτο κατὰ συμβεβηκός. λέγω δέ, οἷον ἄνθρωπος ἐκ κά-



Ε.Υ.Δ της Κ.Τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

μνοντος ὑγιαίνων, καὶ κάμνων ἐξ ὑγιαίνοντος, ἤτι μικρὸν ἐκ μεγάλου, καὶ μέγα ἐκ μικροῦ, καὶ τ' ἄλλα πάντα τοῦτον τὸν τρόπον. ἀπορῶν γὰρ αὖτις ὑποπτεύσειε μὴ εἶναι τὴν ἁπλῶς γένεσιν. πᾶν γὰρ τὸ γινόμενον ἐκ τοῦ μὴ τοιούτου γίνεται, καὶ τῆς ἰδίας ἀποφάσεως. ὥστε γίγνοιτ' ἂν καὶ τὸ γινόμενον ἁπλῶς ἐκ τοῦ ἁπλῶς μὴ ὄντος. τίς μὲν γὰρ γένεσις ἐκ μὴ ὄντος τινός, οἷον ἐκ μὴ λευκοῦ, ἢ μὴ καλοῦ, ἡ δὲ ἁπλῆ ἐξ ἁπλῶς μὴ ὄντος; εἰ δὲ τοῦτο, ἀληθὲς ἂν εἴη λέγειν, ὅτι τὸ μὴ ὂν ἐν τοῖς οὖσιν ὑφέστηκε, καὶ ὑπάρχει τισί. τὸ γὰρ ἁπλῶς δύω ταῦτα σημαίνει, ἤτοι τὸ πρῶτον καθ' ἑκάστην κατηγορίαν τοῦ ὄντος, καὶ τὸ γενικώτατον, ἢ τὸ καθόλου καὶ τὸ πάντη. εἰ μὲν οὖν τὸ ἁπλῶς σημαίνει τὸ πρῶτον, ὥστε οὐσίας εἶναι γένεσιν ἐκ μὴ οὐσίας, ἐξ ἀνάγκης ἕψεται καὶ τὰ ἄλλα πάντα ἐκ μὴ ὄντος γίνεσθαι. εἰ δὲ ἀδυνατόν ἐστιν ἐκ μὴ οὐσίας γενέσθαι οὐσίαν, οὐδὲ τῶν ἄλλων οὐδεμία κατηγοριῶν, οἷον οὔτε ποιὸν, οὔτε ποσὸν, οὐδὲ τὸ ποῦ γίγνεται. ᾧ γὰρ μὴ ὑπάρχει οὐσία, μηδὲ ἄλλη τις ἔνεστι κατηγορία. ὥστε γιγνομένης οὐσίας ἐκ μὴ οὐσίας, καὶ τ' ἄλλα πάντα ἐξ ἁπλῶς μὴ ὄντος γενήσεται. εἰ μή τις θείη χωριστὰ εἶναι τὰ πάθη τῶν οὐσιῶν, καὶ μὴ συγγίνεσθαι καὶ συναπόλλυσθαι τῇ θέσει καὶ ἀναιρέσει τούτων. εἰ δὲ τὸ μὴ ὂν ἁπλῶς τὸ καθόλου σημαίνει, καὶ τὴν ἀναίρεσιν πάντων, ἀνάγκη ἐκ μηδενὸς ἁπλῶς γίνεσθαι τὸ γινόμενον. ταῦτα δὲ ἄτοπα. ὥστε ἀδύνατον ἐξ ἁπλῶς μὴ ὄντος γενέσθαί τι, καὶ φθείρεσθαι εἰς τὸ μὴ ὂν ἁπλῶς.

Περὶ μὲν οὖν τούτων ἐν τῷ πρώτῳ περὶ Φυσικῆς Ἀκροάσεως διηπόρηται, καὶ διώρισται διὰ μακρῶν λόγοις ἀναντιρρήτοις, ὅμως καὶ νῦν συντόμως λεκτέον, ὅτι τὸ γινόμενον τρόπον μέν τινα ἐκ μὴ ὄντος ἁπλῶς γίνεται, τρόπον δὲ ἄλλον ἐξ ὄντος ἀεί, ἐπειδὴ γὰρ ἐκ τοῦ δυνάμει ὄντος καὶ τῆς ὕλης γίνεται, ἥτις ἐντελεχείᾳ ἐστὶ μὴ ὄν, ἀληθές ἐστι λέγειν τὸ γινόμενον ἐξ ὄντος γίνεσθαι τοῦ δυνάμει δηλαδή, καὶ ἐκ μὴ ὄντος ἐντελεχείᾳ, ὥστε ἡ ἁπλῆ γένεσις ἔστι μὲν ὡς ἐκ τοῦ ἁπλῶς μὴ ὄντος ἐντελεχείᾳ, ἔστι δὲ καὶ ὡς ἐκ τοῦ ὄντος ἀεὶ δυνάμει. ἀλλὰ καὶ τούτων διωρισμένων ἐκεῖνο θαυμαστὴν ἀπορίαν ἔχει, διὸ καὶ πάλιν ἐπαναποδιστέον. ἐπειδὴ γὰρ ἡ γένεσις ἐκ τοῦ δυνάμει ὄντος, ἐνεργείᾳ δὲ μὴ ὄντος, εἴρηται γίνεσθαι, σκεπτέον πῶς ἐστιν ἁπλῆ γένεσις. ἀπορήσειε γὰρ αὖτις ἆρ' ἐστιν οὐσίας γένεσις, καὶ τοῦ τοῦδε, ἀλλὰ μὴ τοῦ τοιοῦδε, καὶ τοῦ σοῦδε, καὶ τοῦ ποῦ. τὸν αὐτὸν δὲ τρόπον καὶ περὶ φθορᾶς. εἰ γάρ τι γίγνεται, δῆλόν ἐστιν ὡς προϋπάρχει δυνάμει τὶς οὐσία, ἐντελεχείᾳ δὲ οὔ, ἐξ ἧς ἡ γένεσις ἔσται, καὶ εἰς ἣν ἀνάγκη μεταβάλλειν τὸ φθειρόμενον. πότερον οὖν τῷ δυνάμει ὄντι ὑπάρξει τι τῶν ἄλλων ἐντελεχείᾳ, ὥστε εἶναι ποσὸν, ἢ ποιὸν, ἢ ἄλλο τι, ἢ δυνάμει μόνον τόδε, καὶ ὄν, ἁπλῶς δὲ



ΙΩΑΝΝΙΝΑ 2006

μηδὲ τόδε, μηδὲ ὄν. εἰ γὰρ ἐνεργείᾳ μηδέν ἐστιν, ἀλλὰ πάντα δυνάμει, τὸ οὕτως μὴ ὂν συμβαίνει χωριστὸν εἶναι καὶ ὑφεστηκός. ἄτοπον δὲ τὸ ὑφεστάναι τι μηδὲν ὄν, καὶ ἔτι ὃ μάλιστα οἱ πάλαι Φιλόσοφοι εὐλαβοῦνται διὰ παντὸς ἐξ ἀνάγκης συμβήσεται τὸ ἐκ μηδενὸς γίνεσθαι προϋπάρχοντος τὰ γιγνόμενα, εἰ δὲ τῷ δυνάμει ὄντι, τὸ μὲν εἶναι τὸ δέ τι, ἢ οὐσίαν οὐχ ὑπάρξει, τῶν δὲ ἄλλων τῶν κατ' ἐνέργειαν εἰρημένων ὑπάρξει τι συμβήσεται, καθάπερ εἴπομεν τὰ πάθη χωριστὰ τῶν οὐσιῶν εἶναι, ὡς ὑφεστῶτα μὴ ὑποκειμένης οὐσίας. ἄδηλον οὖν τί ἐστι τὸ δυνάμει ὂν τοῦτο. εἰ γὰρ μὴ ὄν, ὡς οὔτε οὐσίαν εἶναι, οὔτε ποσόν, οὔτε ποιόν, οὔτ' ἄλλο τι τῶν ἐν ταῖς κατηγορίαις, ἐκ μηδενὸς γενήσεται τὰ ὄντα, εἰ δὲ μὴ οὐσία, ἀλλὰ ποσὸν, ἢ ποιὸν, ἔσται τὰ πάθη χωριστά. περὶ τούτων οὖν τῶν ἀπορῶν ὅσον ἐνδέχεται πραγματευτέον, καὶ μάλιστα τὴν εὕρωμεν, καὶ τίς ἡ τοῦ γένεσιν ἀεὶ εἶναι αἰτία, οὐ μόνον δὲ τὴν ἁπλῆν, ἀλλὰ καὶ τὴν κατὰ μέρος. ταῦτα γὰρ καὶ οἱ πάλαι διαποροῦντες, καὶ μὴ δυνάμενοι συνοῆσαι τήν τε κατὰ διαδοχὴν τῆς γενέσεως περίστασιν, καὶ ὡς ἐκ τοῦ μηδενὸς γίγνεται τὰ γινόμενα, ἐξώκειλαν εἰς τὰ ἀτοπώτατα, οὔσης δὲ αἰτίας μιᾶς μὲν τῆς ποιητικῆς, ὅθεν τὴν ἀρχὴν εἶναι φαμὲν τῆς κινήσεως, μιᾶς δὲ τῆς ὕλης, ἀμφοτέρων εἰς τὴν γένεσιν ἐξ ἴσου ἀναγκαίων οὐσῶν (ὡς γὰρ τὸ μὲν οὗ ἕνεκα ἐπιγιγνόμενον τῷ ποιοῦντι, τὸ δὲ εἶδος τῇ ὕλῃ παρεπόμενον οὐ τὴν αὐτὴν ἐν ταῖς γενέσεσι χρῆσιν παρέχουσι) περὶ τῆς ὑλικῆς μόνον αἰτίας λεκτέον, περὶ γὰρ τῆς ποιητικῆς εἴρηται πρότερον ἐν τοῖς περὶ κινήσεως λόγοις, ὅτι διττή ἐστιν, ἡ μὲν ἀκίνητος τὸν ἅπαντα χρόνον, ἡ δὲ κινουμένη. ὅθεν τούτων πάλιν περὶ μὲν τῆς ἀκινήτου ἀρχῆς διορίσασθαι ἀκριβῶς τῆς πρώτης ἐστὶ Φιλοσοφίας, περὶ δὲ τῆς ἀεὶ κινουμένης, καὶ διὰ τὸ συνεχῶς κινεῖσθαι τἆλλα κινούσης, ἐν τοῖς μετέπειτα λόγοις ἀποδοτέον, τί αὖ τοιούτων τῶν καθ' ἕκαστα γεννητῶν καὶ φθαρτῶν αἴτιόν ἐστι. νῦν δὲ εἴπωμεν τὴν ὡς ἐν ὕλης λόγῳ τιθεμένην αἰτίαν, δι' ἣν μάλιστα ἀεὶ φθορὰ, καὶ γένεσις οὐχ ὑπολείπει τὴν φύσιν, τοῦτο γὰρ μάλιστα ζητεῖται, καὶ τούτου δηλωθέντος ἅμ' αὖ ἴσως γένοιτο δῆλον καὶ περὶ τῆς ἑτέρας ἀπορίας πῶς ποτ' ἐν τῇ φύσει γίγνεται ἁπλῆ φθορὰ, καὶ γένεσις, καὶ πῶς δεῖ περὶ ταύτης ὑπολαβεῖν, πότερον ἄρα ἐκ τοῦ δυνάμει ὄντος, ἢ ἐνεργείᾳ γίγνεται; καὶ πῶς ἐστι τὸ δυνάμει ὄν, καὶ γὰρ εἰκότως ἀπορεῖται τί τὸ αἴτιον τοῦ μηδέποτε τὴν γένεσιν ἐπιλείπειν, ἐπειδὴ τὸ φθειρόμενον εἰς τὸ μὴ ὂν ἀπέρχεσθαι λέγεται. αὐτὸ δὲ τὸ μὴ ὂν μηδέν ἐστιν, οὔτε γὰρ οὐσία, οὔτε ποιόν, οὔτε ποσόν, οὔτε ποῦ τὸ μὴ ὄν ἐστιν, εἴπερ οὖν ἀεί τι τῶν ὄντων ἀπέρχεται εἰς τὸ μὴ ὄν, διατί ποτε οὐκ ἀνήλωται πάλαι, καὶ φροῦδον γέγονε τὸ πᾶν εἰς τὸ μὴ ὂν ἀπελθόν; ἐπειδὴ πεπερασμένον ἐστὶ τὸ ὄν, ἐξ οὗ γίγνεται τῶν γιγνομένων ἕκαστον,

ὡς ἐν τῇ Φυσικῇ δέδεικται. οὐ γὰρ δὴ διὰ τὸ ἄπειρον εἶναι τὸ ὂν ἡ γένεσις οὐχ ὑπολείπει. τὸ γὰρ ἄπειρον κατ᾽ ἐνέργειαν μὲν ἀδύνατον, δυνάμει δὲ δυνατὸν, ἀλλ᾽ ἐπὶ τὴν τοῦ συνεχοῦς διαίρεσιν, ὥστε ἔδει ταύτην τὴν τομὴν τοῦ συνεχοῦς ἀεὶ εἶναι, καὶ μὴ ὑπολείπειν, ἀλλὰ γίγνεσθαί τι ἀεὶ ἔλαττον. εἰ γοῦν οὕτω φαμὲν γίγνεταί τι τοῦ προϋπάρχοντος μεγέθους ἐλαττουμένου, συνέβαινεν ἂν τῇ ἀφαιρέσει τὸ ὂν ἔλαττον γενέσθαι. νῦν δὲ τοῦτο οὐχ ὁρῶμεν, οὐδὲ περὶ τοῦ μείζω ἢ ἐλάττω γενέσθαί τι ὁ λόγος, ἀλλὰ περὶ τῆς ἁπλῆς γενέσεως. ἆρ᾽ οὖν ἡ γένεσις, καὶ ἡ ἁπλῆ μεταβολὴ ἐξ ἀνάγκης ἄπαυστός ἐστι δι᾽ αἰτίαν τοιαύτην. ὅτι ἡ φθορὰ οὐκ ἔστιν εἰς τὸ μὴ ὂν, ἀλλ᾽ εἰς ἄλλο ὂν, καὶ ἀεὶ ἡ τοῦδε φθορὰ ἄλλου ἐστὶ γένεσις, καὶ ἡ τοῦδε γένεσις ἄλλου ἐστὶ φθορά. ὅθεν τό, τε γιγνόμενον ἐξ ὄντος ἐνεργείᾳ τινὸς γίνεται, καὶ τὸ φθειρόμενον εἴς τι ὂν ἐνεργείᾳ μεταβάλλει, καί τοι οὐχ ᾗ ὂν ἐνεργείᾳ ἐκ τούτου, ἢ εἰς τοῦτο γένεσις καὶ φθορά, ἀλλ᾽ ᾗ δυνάμει. ἀεὶ τοιγαροῦν ἐστι γένεσις συνειρούσης ταύτην τῆς ὕλης διὰ τὸ μεταβάλλειν ἀεὶ κατὰ τὰ εἴδη, καὶ ἄλλοτε ἄλλο ἐν μέρει ἀναδέχεσθαι. περὶ μὲν οὖν τοῦ γένεσιν ἀεὶ εἶναι καὶ φθορὰν, ὁμοίως περὶ ἕκαστον τῶν ὄντων πᾶσιν ἱκανὴν εἶναι τὴν ἀποδοθεῖσαν αἰτίαν οἰητέον. διηπορεῖτο δὲ καὶ περὶ τῶν γενέσεων, τί δήποτε αἱ μὲν ἁπλαῖ λέγονται, αἱ δέ τινες καὶ κατὰ μέρος, ὥστε καὶ τῶν γινομένων τὰ μὲν ἁπλῶς γίνεσθαι λέγεται καὶ φθείρεσθαι, τὰ δὲ οὐχ ἁπλῶς; εὔλογος γὰρ ἡ ἀπορία, εἴπερ τὸ αὐτὸ γένεσις μὲν ἑτέρου, φθορὰ δὲ ἑτέρου, καὶ ἡ τουδὶ μὲν γένεσις φθορὰ τουδὶ, καὶ ἡ φθορὰ τουδὶ γένεσις τουδί. πάντων γὰρ τῶν γιγνομένων τὰ μὲν λέγεται φθείρεσθαι ἁπλῶς; τὰ δὲ γίγνεσθαι ἁπλῶς, καὶ ἡ τῶν γιγνομένων ἁπλῶς φθορά τις ἐστὶν, ἡ δὲ τῶν ἁπλῶς φθειρομένων γένεσίς τις ἐστιν, ἀλλ᾽ οὐχ ἁπλῆ. οἷον ὁπηνίκα ἐξ ἀνθρώπου γίνεται σῶμα νεκρὸν, αὕτη μὲν φθορὰ ἁπλῶς, τὶς δὲ γένεσις. ὁπηνίκα δὲ ζῶον γίγνηται, γένεσις μὲν ἁπλῶς, φθορὰ δέ τις. ὅταν οὖν φθείρεταί τι, ἢ γίγνεται ἄνευ προσθήκης, τούτων ἡ γένεσις καὶ ἡ φθορὰ ἁπλαῖ εἰσιν. ὅταν δὲ μετὰ προσθήκης (οἷον φαμὲν τὸν ἄνθρωπον γίγνεσθαι ἐπιστήμονα) τούτων ἡ γένεσις κατά τι καὶ κατὰ συμβεβηκός, ἀλλ᾽ οὐχ ἁπλῶς. καθάπερ οὖν διορίζομεν πολλάκις λέγοντες, ὅτι τὰ μὲν τόδε τι σημαίνει, καὶ οὐσίαι εἰσὶ, τὰ δὲ οὔ, ἀλλὰ συμβεβηκότα, διὰ τοῦτο συμβαίνει τὸ ζητούμενον, τῶν γὰρ οὐσιῶν ἡ γένεσις ἁπλῆ, τὶς δὲ τῶν συμβεβηκότων, οὕτως οὖν ὥρισται καθ᾽ ἕνα τρόπον, ὁποῖαι τινὲς ἁπλῶς λέγονται γενέσεις, ὁποῖαι δὲ οὔ. ἀλλ᾽ ἡ ζήτησις ἐπὶ τῶν οὐσιῶν μᾶλλον δυσχερεστέρα. τούτων γὰρ ἐξ ἀλλήλων γιγνομένων λόγον τινὰ ζητεῖ τίνος ἕνεκα τὰ μὲν ἁπλῶς λέγεται γίγνεσθαι, τὰ δὲ μὴ, καὶ τὰ μὲν ἁπλῶς φθείρεσθαι, τὰ δὲ μὴ, καὶ ταῦτα πάντη πως γιγνομένης, ἢ φθειρομένης

οὐσίας;

ΙΩΑΝΝΙΝΑ 2006

οὐσίας; τούτων οὖν ἡ διαφορὰ λαμβάνεται ἀπὸ τῶν μεταβαλλόντων, καὶ εἰς ἃ μεταβάλλει. τρεῖς γὰρ φαίνονται διαφοραὶ τῷ σκεψαμένῳ μετ' ἀκριβείας τοὺς τῆς μεταβολῆς ὅρους. διαφέρει γὰρ εἰς ἃ μεταβάλλει τὸ μεταβάλλον, ἡ μὲν γὰρ ἐκ τοῦ μὴ ὄντος γένεσις τοῦ ὄντος ἁπλῆ ἐστιν, ὥσπερ εἰς τὸ μὴ ὂν φθορὰ τοῦ ὄντος ἁπλῆ, καὶ αὕτη μὲν ἡ τοῦ ὄντος φθορὰ γένεσίς τις, ἡ δὲ ἐκ τοῦ μὴ ὄντος γένεσις φθορά τις, καὶ ἵνα ἐκ τῶν Παρμενίδου λάβωμεν παράδειγμα. οὗτος τὸ μὲν πῦρ ἔλεγεν ὄν, τὴν δὲ γῆν μὴ ὄν, ὥστε τὴν εἰς τὸ πῦρ ὁδὸν γένεσιν ἁπλῆν εἶναι, φθορὰν δέ τινα, οἷον γῆς, τὴν δὲ γῆς γένεσιν τινὰ μὲν γένεσιν, φθορὰν δὲ ἁπλῶς. τὸ δὴ ταῦτα, οἷον πῦρ καὶ γῆν, ἢ τοιαῦτα ἕτερα ὑποτίθεσθαι διαφέρει οὐδέν, τὸν γὰρ τρόπον ζητοῦμεν, ἀλλ' οὐ τὸ ὑποκείμενον. ἡ μὲν οὖν εἰς τὸ μὴ ὂν ἁπλῶς ὁδὸς, φθορὰ ἁπλῆ, γένεσις δέ τις. ἡ δ' εἰς τὸ ἁπλῶς ὂν γένεσις, γένεσις ἁπλῆ, φθορὰ δέ τις. οἵαις οὖν διαφοραῖς διώρισται τὸ ὄν, καὶ τὸ μὴ ὄν, εἴτε πυρὶ καὶ γῇ, εἴτε ἄλλοις τισί, τούτων ἔσται τὸ μὲν ἕτερον ὄν, τὸ δὲ θάτερον μὴ ὄν. ἕνα μὲν οὖν τρόπον τοῦτο διοίσει τὸ ἁπλῶς τι γίνεσθαι, καὶ φθείρεσθαι, τοῦ μὴ ἁπλῶς, ἄλλον δὲ τῇ ὕλῃ ὁποία τις ἂν ᾖ, ἧς μὲν γὰρ μᾶλλον αἱ διαφοραὶ τόδε τι σημαίνουσι, καὶ εἰδοποιοὶ μᾶλλον οὐσία μᾶλλον, ἧς δὲ στέρησιν σημαίνουσιν ἧττον οὐσία καὶ μὴ ὄν, οἷον τὸ μὲν θερμὸν κατηγορία τις ἐστί, καὶ εἴδει ἀναλογεῖ, ὡς ἕξις, ἡ δὲ ψυχρότης στέρησίς ἐστι, καὶ ἡ κατὰ ταύτην εἰδοποιουμένη ὕλη χείρων οὐσία. ἐπειδὴ γὰρ διαφέρουσι πῦρ καὶ γῆ καὶ ταύταις ταῖς διαφοραῖς, ἐστὶ τὸ μὲν πῦρ μᾶλλον οὐσία, ἡ δὲ γῆ ἧττον, καὶ ἡ ἀπὸ γῆς εἰς πῦρ μεταβολὴ ἐστί τις μὲν φθορά, γένεσις δὲ ἁπλῆ, ἡ δὲ ἀπὸ πυρὸς εἰς γῆν φθορὰ μὲν ἁπλῆ, τὶς δὲ γένεσις. τρίτον δὲ τοῦτον τρόπον διοίσουσιν αἱ ἁπλαῖ φθοραί, καὶ γενέσεις τῶν οὐχ ἁπλῶς, ὡς δοκεῖ μᾶλλον τοῖς πολλοῖς, δηλαδὴ τοῦ αἰσθητοῦ καὶ μὴ αἰσθητοῦ. ὅταν μὲν γὰρ εἰς αἰσθητὴν μεταβάλλῃ ὕλην γίγνεσθαί φασιν, ὅταν δὲ εἰς ἀφανῆ φθείρεσθαι, οἴονται δὲ οὕτως, ὅτι τὸ ὂν καὶ μὴ ὂν τοῦ αἰσθάνεσθαι καὶ μή, διορίζουσι, καὶ τὰ μὲν αἰσθητὰ ὄντα, οὐκ ὄντα δὲ τὰ μὴ αἰσθητά φασι. τὴν γὰρ αἴσθησιν ἐπιστήμην λέγουσιν οἱ τοιοῦτοι. ὥσπερ οὖν τὸ μὲν ἐπιστητὸν ὂν καὶ ἀληθές, τὸ δὲ ἄγνωστον, μὴ ὂν καὶ ψευδές, οὕτω τοι καὶ οὗ αἰσθάνονται ὄν φασιν, οὗ δὲ οὐκ ἔχουσιν αἴσθησιν οὐκ ὄν. καὶ πάλιν ὥσπερ τὰ αἰσθητικὰ τοῦ αἰσθάνεσθαι, ἢ τοῦ δύνασθαι λαβεῖν αἴσθησιν, καὶ ζῆν, καὶ εἶναι νομίζεται, οὕτω καὶ τὰ αἰσθητὰ πράγματα τοῦ κινεῖν τὴν αἴσθησιν, ἢ τοῦ δύνασθαι, ὁρίζεται κατ' αὐτοὺς εἶναι καὶ μὴ εἶναι. τρόπον δέ τινα οἱ τοιοῦτοι διώκουσι τὸ ἀληθές, καίτοι ψευδῆ λέγοντες. τὸ γὰρ ἐπιστήμῃ καὶ ἀγνοίᾳ διορίζειν τὰ ὄντα, καὶ μὴ ὄντα ἀληθές. μᾶλλον μὲν γὰρ ἐπιστητὸν ὃ καὶ μᾶλλον ὄν, χεῖ-



ΕΡΓΑΣΤΗΡΙΟ ... ΔΙΕΥΘΥΝΣΗ ... ΙΩΑΝΝΙΝΑ 2006

ρον. δὲ τὸ ἧττον ἐπιστητὸν, ὡς οὐδὲ ὂν τὸ ὅλως ἀνεπίστητον. τὸ δὲ ταυτὸν φάναι τῇ ἐπιστήμῃ τὴν αἴσθησιν, καὶ ταύτῃ ψευδὴς, συμβαίνει δὴ κατὰ δόξαν καὶ κατ' ἀλήθειαν, ἄλλως τὸ γίνεσθαι ἁπλῶς, καὶ τὸ φθείρεσθαι, μάχεται δὲ καὶ ἐναντίως πῶς ἔχει ταῦτα ἀλλήλοις. ἡ γὰρ ἀλήθεια τοῦ μᾶλλον ὄντος τὴν φύσιν ἁπλῆν λέγει, τοῦ δὲ ἧττον οὐχ ἁπλῆν. ἡ δὲ δόξα οὐ τοῦ μᾶλλον ὄντος, ἀλλὰ τοῦ αἰσθητοῦ μᾶλλον, ἁπλῆν τὴν γένεσιν, οὐχ ἁπλῆν δὲ τοῦ ἧττον αἰσθητοῦ. οἷον ἐπειδὴ μᾶλλον αἰσθητόν ἐστι τὸ ὕδωρ καὶ ἡ γῆ, καὶ ὅσα ἁπτὰ τῶν μὴ τοιούτων, οἷον ἀέρος ὅταν ἐξ ἀέρος ἡ μεταβολὴ εἰς ὑετὸν γίγνηται ὕδωρ φύεσθαι φασὶν, ὅταν δὲ ἐξ ὕδατος ἀὴρ φθαρῆναι τὸ ὕδωρ, κατὰ δὲ τὴν ἀλήθειαν ὁπηνίκα τὸ μᾶλλον ὂν γίγνεται ἁπλῆ γένεσις ἐστὶν, οἷον ὁπόταν ἐκ γῆς ἢ ὕδατος ἀὴρ γίγνηται, μᾶλλον γὰρ ὁ ἀὴρ τοδέ τι, καὶ εἶδος τῆς γῆς εἰδικωτέραν ἔχων τὴν διαφοράν. ἀλλὰ τὴν μὲν ἁπλῆν γένεσιν φθορὰν εἶναι τινὸς, τὴν δὲ φθορὰν τὴν ἁπλῆν γένεσιν ὁμοίως τινὸς, εἴρηται τὸ αἴτιον, καὶ ἀποχρώντως διώρισαι. διὰ γὰρ τὸ τὴν ὕλην διαφέρειν τῶν μεταβαλλόντων κατά τινα τῶν τελῶν διαφορῶν ἡ ἁπλῆ γένεσις τῆς τινὸς διαφέρει, καὶ ἡ ἁπλῆ φθορὰ τῆς τινὸς, δηλονότι ἢ τῷ οὐσίαν εἶναι, ἢ τῷ μὴ, καὶ ὂν καὶ μὴ ὂν, ἢ τῷ τὴν μὲν μᾶλλον οὐσίαν εἶναι καὶ εἰδικωτέραν, τὴν δὲ μὴ, ἀλλ' ἧττον καὶ ὑλικωτέραν, ἢ τῷ τὴν μὲν μᾶλλον αἰσθητὴν εἶναι τὴν ὕλην, ἐξ ἧς καὶ εἰς ἣν γίνεται καὶ φθείρεται τὸ ὂν, τὴν δὲ ἧττον αἰσθητὴν, τοῦ δὲ τὰ μὲν ἁπλῶς γίγνεσθαι λέγεται, τὰ δέ τι μόνον μὴ ἐπὶ τῶν οὐσιῶν τῇ ἐξ ἀλλήλων φύσει, καθ' ὃν εἴπομεν νῦν τρόπον. καὶ γὰρ νῦν τοσοῦτο διώρισαι, τί δήποτε πάσης φύσεως φθορᾶς οὔσης ἄλλα, καὶ πάσης φθορᾶς οὔσης ἑτέρα τινὸς φύσεως οὐχ ὁμοίως ἀποδίδομεν τὸ γίγνεσθαί τε καὶ φθείρεσθαι τοῖς εἰς ἄλληλα μεταβάλλουσιν, ἀλλὰ κοινῶς καὶ καθόλου περὶ πάντων. τοῦτο γὰρ διηπορεῖτο τὸ ὕστερον εἰρημένον πῶς ποτε τὸ μανθάνον μὲν οὐ λέγεται ἁπλῶς γίγνεσθαι, ἀλλὰ γίνεσθαι ἐπιστῆμον, τὸ δὲ φυόμενον γίγνεσθαι. διαιρεῖσθαι τοίνυν ταῦτα ταῖς κατηγορίαις, τὰ μὲν γὰρ τόδε τι σημαίνει, τὸ δὲ τοιόνδε, τὰ δὲ ποσόν. ὅσα οὖν μὴ οὐσίαν σημαίνει, οὐ λέγεται ἁπλῶς, ἀλλά τι γίγνεσθαι, ὅσα δὲ οὐσίαν, ἁπλῶς γίνεσθαι λέγεται. ἔτι δὲ ἐν πάσαις ταῖς κατηγορίαις ἐστὶν ἁπλῆ γένεσις καὶ φθορὰ, καὶ τὶς, ὥσπερ ἐν ταῖς οὐσίαις. ἡ μὲν γὰρ ἐπὶ τὰ τιμιώτερα καὶ κρείττω μεταβολὴ γένεσις, ἡ δὲ ἐπὶ τὰ χείρω καὶ ἀτιμώτερα φθορά. καθάπερ γὰρ ἐν μὲν οὐσίᾳ γένεσιν φαμὲν, ἐὰν πῦρ, ἐὰν δὲ γῆ, φθορὰν, οὕτως ἐν τῷ ποιῷ ἐὰν λευκὸν, ἢ ἐπιστῆμον, ἀλλ' οὐχ ὅταν μέλαν, ἢ ἀνεπιστῆμον γίγνεσθαι νομίζομεν, ἀλλὰ τὴν ἐκ τοῦ μέλανος εἰς λευκὸν μεταβολὴν φύσιν φαμὲν, φθορὰν δὲ τὴν ἐκ τοῦ λευκοῦ εἰς μέλαν. πε-



ΙΩΑΝΝΙΝΑ 2006

εἰ μὲν οὖν τί τὰ μὲν ἁπλῶς γίνεσθαι, τὰ δὲ μή, καὶ καθόλου περὶ πάντων, καὶ ἐν ταῖς οὐσίαις αὐταῖς εἴρηται, καὶ ἔτι διότι τοῦδε γένεσιν εἶναι συνεχῶς, καὶ ἀδιαλείπτως αἰτία ὡς ὕλη τὸ ὑποκείμενον, ὅτι μεταβλητικὸν ἐστὶν εἰς τἀναντία, ὅθεν ἡ θατέρου γένεσις ἀεί, (καίτοι μὴ ἐπὶ πάντων τῶν ὄντων ἐνεργείᾳ, ἡ γὰρ ἐπιστήμης γένεσις οὐδενὸς ἐστὶ φθορά, ἀλλ' ἐπὶ τῶν οὐσιῶν) ἄλλου φθορά ἐστι, καὶ ἡ ἄλλου φθορὰ ἄλλου γένεσις. ἀλλὰ μὴν οὐδ' ἀπορῆσαι δεῖ μὴ γένεσιν ἀεὶ εἶναι ἀπολλυμένων τινῶν, καὶ εἰς τὸ μὴ ὂν χωρούντων, πῶς γὰρ ἀεὶ ἀπολλυμένων γίγνεταί τι, καὶ μὴ ἐπιλείπει γένεσις διηπορεῖτο, καὶ γὰρ τρόπον μέν τινα ἡ φθορὰ εἰς τὸ μὴ ὂν γίνεται, τρόπον δέ τινα εἰς τὸ ὄν, ὥστε εἰς ὃ φθείρεταί τι, ἐξ ἐκείνου γίγνεται θάτερον, ὥσπερ καὶ οἱ κατὰ τὴν αἴσθησιν ζῶντες τὸ φθείρεσθαι ἁπλῶς φασιν οὐχ ὅταν εἰς μὴ ὂν ἀπέλθῃ, ἀλλ' ὅταν εἰς ἀναίσθητον ἔλθῃ, καὶ τοῦτο μὴ ὂν λέγουσιν, ὁμοίως καὶ γίγνεσθαι ἐκ μὴ ὄντος φασίν, ὅταν ἐξ ἀναισθήτου, ὅθεν ἀπολλυμένων ἀεὶ γίγνεταί τι, οὐ γὰρ εἰς τὸ μηδόλως ὂν ἡ ἀπώλεια, ἀλλὰ εἰς τὸ ἀναίσθητον, εἴτ' οὖν ὄντος τινὸς τοῦ ὑποκειμένου, εἴτε μή, τὸ γιγνόμενον ἐκ μὴ ὄντος γίνεται, ὥστε ὁμοίως καὶ γίγνεται ἐκ μὴ ὄντος, καὶ φθείρεται εἰς τὸ μὴ ὄν, οὐ τὸ μηδαμῇ μηδαμῶς, ἀλλὰ τὸ ἀναίσθητον. εἰκότως οὖν οὐχ ὑπολείπει γένεσις. ἡ γὰρ γένεσις φθορὰ τοῦ μὴ ὄντος, ἡ δὲ φθορὰ γένεσις τοῦ μὴ ὄντος. ὅθεν ἡ γένεσις ἐκ τοῦ μὴ ὄντος ἐστὶν ὡς ἐξ ὅρου, ἡ δὲ φθορὰ εἰς τὸ μὴ ὂν ὡς εἰς ὅρον. καὶ οὕτως ἀεὶ ἡ γένεσις συνεχίζεται. ἀλλὰ τοῦτο τὸ μὴ ὂν ἁπλῶς ἀπορήσειέ τις, πότερον τὸ ἕτερον τῶν ἐναντίων ἐστὶ τὸ τῇ στερητικῇ διαφορᾷ χαρακτηριζόμενον, οἷον γῆ, καὶ τὸ βαρὺ μὴ ὄν, πῦρ δὲ καὶ τὸ κοῦφον ὄν, ἢ οὔ; ἀλλ' ἔστι καὶ γῆ τὸ ὄν, αὐτὸ δὲ τὸ μὴ ὄν, τὸ δυνάμει μὲν ὄν, ἐντελεχείᾳ δὲ μὴ ὄν, καὶ ἡ ὕλη τῆς γῆς καὶ πυρὸς ὡσαύτως. τὸ μὴ ὂν τοιγαροῦν οὐ τῶν γιγνομένων ἕτερον, ἀλλὰ τὸ ἀμφοῖν ὑποκείμενον ἐστίν, διὸ καὶ ζητήσεως αἴτιον, ἆρά γε ἑτέρα ἑκατέρου ἡ ὕλη; δοκεῖ δὲ μηδαμῶς, ἀλλ' ἡ αὐτή; οὐ γὰρ ἂν γίγνοιτο ἐξ ἀλλήλων, οὐδὲ ἐξ ἐναντίων. τοῦ γὰρ αὐτοῦ ὄντος ὑποκειμένου τὰ ἐναντία γίγνεται ἐξ ἀλλήλων. καὶ γὰρ πυρί, γῇ, ὕδατι, καὶ ἀέρι ὑπάρχει τὰ ἐναντία ὡς τὸ αὐτὸ ἔχουσιν ὑποκείμενον, ἀκριβῶς δὲ σκεψαμένοις ῥητέον, ὅτι ἔστι μὲν ὡς ἡ αὐτή, ἔστι δ' ὡς ἡ ἑτέρα. ἡ γὰρ ὕλη καὶ τὸ ὅ μέν ποτε ὂν κατὰ τὴν αὐτῆς δηλαδὴ φύσιν ὑπόκειται ἡ αὐτή, καὶ μία πάντων ἐστὶν ἡ ὕλη, τὸ δὲ εἶναι καὶ κατὰ τὴν ὕπαρξιν οὐχ ἡ αὐτή, ἐπεὶ καὶ τὸ εἶδος ᾧ ὑφίσταται οὐ τὸ αὐτό. περὶ μὲν οὖν τούτων ἐπὶ τοσοῦτον εἰρήσθω.

ΖΗ.

ΙΩΑΝΝΙΝΑ 2006

## ΖΗ'ΤΗΜΑ ΠΡΩ'ΤΟΝ.

### Πότερον τὸ ἁπλῶς γινόμενον ἐκ μὴ ὄντος γίνεται;

Ἐκ τοῦ πρώτου τεμμαχίου τοῦ παρόντος Κεφ. ἀπορία τις ἀνακύπτει σκέψεως δεομένη μακροτέρας, ἣν ἐπιλῦσαι νῦν πειρώμεθα. πρῶτον οὖν ἀποροῦσί τινες, πῶς ἐπειδὴ τὸ γιγνόμενον ἁπλῶς ὅλον γίνεται, τοῦ δ᾽ ὅλως γιγνομένου μέρος οὐθὲν προϋπάρχει; τὸ γὰρ μηδὲν τὸ μηδαμῶς ὂν σημαίνει, οὐχ οὕτω δὲ καὶ τὸ μὴ ὂν οὐ φαμὲν τὸ γιγνόμενον ἁπλῶς ἐκ μηδενὸς γενέσθαι, ἀλλ᾽ οὐκ ἐξ ὄντος. καὶ γὰρ ἡ ζήτησις ἐνταῦθα οὐ περὶ τοῦ ποιητικοῦ αἰτίου, φανερὸν γάρ, ὅτι τοῦτο προϋπάρχει, καὶ τὸ γιγνόμενον ὑπό τινος ἀεὶ γίγνεται ποιοῦντος, ἀλλὰ περὶ τοῦ ὑλικοῦ αἰτίου, πότερον ἐστί τι ὑποκείμενον ἀεί, ἐξ οὗ ἐνυπάρχοντος γίνεται τὰ πράγματα; δεύτερον, τὸ εἶδος γίνεται ἐκ μηδενός, καὶ μηθὲν αὐτοῦ μέρος προϋπάρχει. ἔστιν ἄρα τὶ ὂν ἐκ μὴ ὄντος γιγνόμενον. ἄτοπον γὰρ ἐστὶ φάναι ἐκ τῆς ὕλης γίγνεσθαι τὰ εἴδη, ἡ γὰρ ὕλη οὐκ ἔστι τι τοῦ εἴδους. τρίτον, εἰ τὸ ἐνεργοῦν αἴτιον ποιεῖ τὸ εἶδος, ὃ καὶ μᾶλλον ὂν ἐστιν, ἐκ τοῦ μηδενός, τί κωλύει μὴ καὶ τὴν ὕλην ποιῆσαι; ὅλον ἄρα τὸ σύνθετον ἐκ μηδενὸς γενήσεται. εἰδέ τις ἐρεῖ τὸ εἶδος ἐκ τῆς ὕλης γινόμενον οὐ λέγεσθαι ἐκ μηδενὸς γίνεσθαι, οὐδὲν ἧττον φανερόν ἐστι τὰ εἴδη μηδενὸς τούτων μέρους προϋπάρχοντος γίνεσθαι. ἀλλ᾽ ἔτι καὶ πολλὰ τῶν εἰδῶν οὐδ᾽ ἐξ αὐτῆς τῆς ὕλης ἀνακύπτει, οἷον ἐν ἀέρι τὸ φῶς, καὶ τὰ τῶν αἰσθητῶν εἴδη ἐν τῷ μέσῳ, καὶ ἐν τῷ νῷ τὰ νοητὰ εἴδη. ὁμοίως ἄρα καὶ τὰ λοιπὰ οὐκ ἐκ τῆς ὕλης ἀναφύεται, ἀλλὰ παρὰ τοῦ ποιοῦντος ἐκ τοῦ μηδενὸς εἰς εἶναι προάγεται. τέταρτον, πῶς φησὶν ὁ Φιλόσοφος ἐκ τοῦ δυνάμει ὄντος, καὶ μὴ ὄντος ἐντελεχείᾳ γίγνεσθαι τὰ ὄντα; ἡ γὰρ ὁσημέραι πεῖρα διδάσκει, ὅτι τὸ γινόμενον ἐξ ὄντος ἐντελεχείᾳ γίνεται, οἷον ἐκ πυρὸς ἀήρ, καὶ ἐξ ὕδατος γῆ. μάλιστα γάρ, ἐπειδὴ πάσης γενέσεως ἡγεῖται ἀλλοίωσις διατιθεμένη τὸ πάσχον, καὶ ἐξομοιοῦσα κατὰ μικρὸν τῷ ποιοῦντι, πᾶσα δὲ ἀλλοίωσις ἐν ὑποκειμένῳ ἐντελεχείᾳ γίνεται, ὡσαύτως ἄρα πάσης γενέσεως ἐντελεχείᾳ τὸ ὑποκείμενον ἐστι, καὶ τὸ γινόμενον ἐξ ὄντος γίγνεται ἐνεργείᾳ. εἰς ἐπίλυσιν οὖν τῶν ἀντιφερομένων ἰστέον, ὅτι μηδεὶς τῶν πάλαι Φιλοσόφων δυνατὸν ἔγνω ἐκ μὴ ὄντος γίγνεσθαί τι, ὥστε γεγενῆσθαι τὸ μὴ ὂν πρότερον, ἀλλὰ πάντες ᾠήθησαν γένεσιν εἶναι

ὁπηνίκα φανήσεται τὸ μήπω φαινόμενον, καὶ ἄλλως ἕξει τὸ μὴ πάντη πρότερον ὑπάρξαν. ὅθεν ἀεὶ προϋπάρχειν ἔφασκον τὰ πράγματα, μεταβάλλειν δὲ κατά τινα τρόπον τοιοῦτον, δηλονότι συγκρίσεως, ἢ διακρίσεως, ἀραιώσεως, ἢ πυκνώσεως. τοῦ δὲ οὕτω νομίζειν αἴτιον, τὸ πάντη πεπεῖσθαι τῷ πολυθρυλλήτῳ ἀξιώματι, ὅτι ἐκ μηδενὸς οὐδὲν γίνεται, καὶ εἰς τὸ μηδὲν οὐδὲν ἀπέρχεται. εἰ δέ τι γίγνοιτο μὴ προϋπάρχον, ἐξ ἀνάγκης ἐδόκει ἐκ τοῦ μηδενὸς γεγονέναι. ὁ δὲ Σταγειρίτης τοῖς μὲν κοινῶς ὁμολογουμένοις πιστεύων, καὶ τὸ ἐκ μηδενὸς μηδὲν γίγνεσθαι ἀποδεχόμενος, αὐτῇ δὲ τῇ πείρᾳ νικώμενος, πολλὰ τῶν ὄντων ἠναγκάζετο γίνεσθαι ἁπλῶς καθομολογεῖν. ὅθεν τρόπον τινὰ καθ᾽ ἑαυτὸν ἐξεῦρεν ὅπως ἂν ἀναιρήσῃ τὴν μάχην τῆς ἀντιλογίας. ἔλεγεν οὖν τὰς οὐσίας ἐκ δυοῖν μερῶν συνίστασθαι, ὧν οὐδέτερον καθ᾽ ἑαυτὸ ὑφέστηκεν, ἀλλ᾽ ἑκάτερον συνυπάρχει εἰς συμπλήρωσιν τῆς ὅλης οὐσίας. τούτων δὲ τὸ μὲν ἀγέννητόν τε ἐστὶ, καὶ ἀΐδιον, καὶ οὐδέποτε ὑπολεῖπον, τὸ δὲ γιγνόμενόν τε καὶ ἀπογινόμενον, καὶ τὸ μὲν ὑποκείμενόν τε καὶ ὕλην ὠνόμαζεν, ὡς ὑποδεχόμενον ἐν ἑαυτῷ τὸ εἶδος, τὸ δὲ μορφὴν καὶ εἶδος, καὶ λόγον καὶ ἐντελέχειαν. ἠβούλετο τοιγαροῦν τὰς οὐσίας κατὰ μὲν τὴν ὕλην ἀεὶ προϋπάρχειν, κατὰ δὲ τὸ εἶδος γίνεσθαι ἁπλῶς. καὶ γὰρ ἡ ὕλη ἀεὶ προϋπάρχει παντὸς γινομένου, καὶ ἔστι δυνάμει, ἀλλ᾽ οὐκ ἐντελεχείᾳ τοδέ τι. τὸ δὲ εἶδος οὐ προϋπάρχει, ἀλλὰ γίγνεται, ὥστε τὰς οὐσίας γίγνεσθαι μὲν ἕνα τρόπον ἐκ μὴ ὄντος, ἄλλον δὲ ἐξ ὄντος ἀεί. διὰ δὲ τοῦτο κατὰ τὸν Φιλόσοφον πᾶσα γένεσις μεταβολή ἐστι. καὶ γὰρ ἡ ὕλη οὐκ ἀποβάλλει τὸ εἶδος, ᾧ πρότερον ὑπόκειται, οὐδὲ τὸ προσγινόμενον ὑποδέχεται μὴ μεταβαλλομένη, ἀλλὰ τῇ τοῦ ποιοῦντος ἐνεργείᾳ τὸ πάσχον ἀλλοιούμενον ὁμοίως τὸ τοῦ ποιοῦντος εἶδος ὑποδέχεται τὸ ἐν αὐτῷ πρότερον ἀποτιθεμένη, ὅθεν οὐδὲν ἁπλῶς γίνεται ἐκ μὴ ὄντος, ἀλλ᾽ ἐξ αὐτῆς τῆς ὕλης. Φυσικῶς οὖν οὐκ ἐνδέχεται κατὰ τὸν Φιλόσοφον ἐκ μὴ ὑπάρχοντος ὑποκειμένου γίγνεσθαί τι, ἣν γὰρ σεβώμεθα ἐκ τοῦ μηδενὸς παραγωγὴν τοῦ παντὸς, οὐδὲ καθ᾽ ὕπνον ἐκεῖνος ἑώρακεν. ἔτι δὲ ἰστέον, ἐκ τῶν εἰρημένων διχῶς ἐννοεῖσθαι τὸ ἁπλῶς τι γίνεσθαι, ἢ καθόλου τὸ γινόμενον ἐκ τοῦ μηδενὸς παρῆχθαι παρὰ τοῦ ποιοῦντος, καὶ τοῦτο πάνυ τῆς Ἀριστοτελικῆς Φιλοσοφίας ἔκφυλόν ἐστιν, ἢ τὸ γιγνόμενον ἁπλῶς γεγονέναι τοιοῦτον, μὴ πρότερον ὂν, οἷον λέων, ἢ ἵππος, ἤτι τοιοῦτον, καὶ τοῦτο ἀληθὲς, καὶ γὰρ ὁσημέραι πῦρ γίνεται ἐκ μὴ πυρὸς, καὶ ἐξ ὕδατος γῆ, καὶ ἄλλα μυρία τοιαῦτα. ὅθεν φανερόν ἐστιν, ἐπειδὴ ὁ ἐξ οὗ ὅρος, καὶ ὁ πρὸς ὃν ἀλλήλοις ἀντίκεινται, ὁσαχῶς λέγεται ὁ πρὸς ὃν ὅρος τῆς μεταβολῆς, τοσαυταχῶς λέγεσθαι καὶ τὸν ἐξ οὗ. εἰ γοῦν τὸ γεγονὸς ἢ τοδέ τι λαμβάνεται ἐκ μὴ ὄντος ἁπλῶς τοιοῦτο γέγονεν, εἰ δὲ

ὡς

ΙΩΑΝΝΙΝΑ 2006

ὡς ὂν ἐντελεχείᾳ ἐκ τοῦ ὄντος δυνάμει, καὶ τῆς ὕλης ἐξ ἀνάγκης γεγένηται, ὅθεν τὸ γεγονὸς γέγονε μὲν ἐκ μὴ ὄντος ἐντελεχείᾳ, γέγονε δὲ ἐξ ὄντος δυνάμει. τούτων οὕτως ὑποτεθέντων κείσθω πρῶτον, ὅτι γίγνεταί τι μὴ πρότερον ὄν, καὶ φθείρεται ὁμοίως μηδαμῇ τὸ αὐτὸ μένον, ὥστε τῆς ἀληθείας ἐψεῦσθαι τοὺς λέγοντας τὰ αὐτὰ ἀεὶ ὄντα ὑπάρχειν, καὶ μηδὲν εἶναι νεογέννητον ἐν τοῖς οὖσι. δείκνυται δὲ τῇ πείρᾳ, ᾗ μάλιστα δεῖ πιστεύειν τοὺς φυσιολογοῦντας. δύω δὲ σαφῶς ἐμπεδοῦσι τὸ λεγόμενον ἀπὸ τῆς πείρας. ἓν μὲν, ὅτι τῶν φθειρομένων, μάλιστα τῶν κατεχόντων ζωῆς, οὐδέποτε τὰ αὐτὰ ἐπανέρχεται. ἐκ γὰρ ἀτόμων, ἢ ὁμοιομερῶν συνισταμένου τοῦ ζώου, τί δήποτε κωλύει εἴτε ὑπὸ τοῦ νοὸς γίγνοιτο ἡ διάρθρωσις, εἴτε ἀπὸ ταὐτομάτου, μὴ τὸ αὐτὸ ἐν παντὶ τῷ αἰῶνι ἐπανιέναι; μᾶλλον δὲ ἔδει πλεῖστα τῶν ζώων τεθνεῶτα πάλιν ἐν βραχεῖ τὸ ζῆν ἀναλαβεῖν, ὡς ἑτοίμου τῆς ὕλης οὔσης, καὶ ὠργανισμένης ἀκριβῶς. εἰ γὰρ ἀπὸ ταὐτομάτου αἱ ἄτομοι συγκρίνονται, εἴς τε τὴν τῶν ὀργάνων διάπλασιν, καὶ ζωῆς περιποίησιν, καὶ τῶν ἄλλων ὅσα περ ἀναγκαῖα ἐστὶν εἰς σύστασιν ζώου, τί δὴ μηδέποτε συγκεκριμένων οὐσῶν τῶν ἀτόμων, καὶ διηρθρωμένων τῶν ὀργάνων, καὶ διεσκευασμένων τῶν ἐπιτηδείων εἰς κατασκευὴν ζώου, οὐ συνέτυχον ἔνια τῶν ζωοποιῶν ἀτόμων πολλάκις ὅλον πέλαγος διανηχομένων τῷ νεκρῷ, ὥστε μετὰ θάνατον κἂν γοῦν σμικρὸν ἀναλέσθαι καὶ ἀναπηδῆσαι; ἕτερον δὲ ὁμοίως συστατικὸν τῶν λεγομένων ἀπὸ τῶν ἐνεργειῶν εἰλήφθω. ἐπειδὴ γὰρ ἕκαστον εἶδος ἀπὸ τῆς οἰκείας ἐνεργείας δῆλον ἡμῖν γίγνεται, ἐπειδὴ τῶν ἐναντίων ἐν τοῖς ἐναντίοις οὐδ᾽ ἀμυδρά τις ἐνέργεια καθορᾶται, πῶς ἐξ ἐναντίων μάλιστα γινομένων τῶν πραγμάτων φαμὲν ἐν ἑτέρῳ προϋπάρξαι τὸ τοῦ θατέρου εἶδος; εἶτα ἐπειδὴ ἐξ ὅλου ὕδατος γίγνεται ὅλον πῦρ, ἢ προϋπῆρχεν ὅλως ἐν τῷ ὕδατι, ἢ μὴ, ἀλλὰ τὸ μὲν ὑπῆρχε, τὸ δ᾽ ἔπειτα γέγονεν, ὥστε γίνεσθαί τι μὴ πρότερον ὄν, εἰ δὲ προϋπῆρχεν, ἦν ἂν ἅμα τὸ αὐτὸ καὶ πῦρ καὶ ὕδωρ, πῶς οὖν οὐ θερμὸν ἦν, ἀλλὰ ψυχρόν; καὶ πῶς οὐδεμία αἴσθησις τῆς τοῦ πυρὸς ποιότητος πεῖραν λαμβάνει; κείσθω δεύτερον, ὅτι κατὰ φύσιν ἀδύνατόν ἐστι γίνεσθαί τι μηδενὸς πρότερον ὑπάρχοντος μέρους αὐτοῦ. δείκνυται δὲ πρῶτον, ὅτι πάντες οἱ πάλαι Φιλόσοφοι ὁμογνωμονοῦσιν οὐκ ἐνδέχεσθαι γίνεσθαί τι ἐκ τοῦ μηδενός. συμμαρτυρεῖ δὲ καὶ ἡ αἴσθησις. ἀεὶ γὰρ ἔκ τινος γίγνεται τὰ ὄντα, οἷον ἐκ σπέρματος ζῶον, καὶ ἐκ τροφῆς τὸ σπέρμα, καὶ ἡ τροφὴ ἔκ τινος ἄλλου, ὁμοίως ἐκ λευκοῦ τὸ μέλαν ὁρώμενον γίνεσθαι, καὶ ἐκ ψυχροῦ τὸ θερμὸν, καὶ τὰ ἄλλα πάντα ὡσαύτως. ἔτι δὲ, ἐπειδὴ οὐδὲν αὐτὸ ποιοῦντος γίγνεται, τὸ δὲ ποιοῦν ἐν τῇ φύσει σῶμα ὂν διὰ κινήσεως ἐνεργεῖ, ἡ δὲ κίνησις οὐκ ἐν αὐτῷ τῷ ποιοῦντι ποιεῖ τὴν μεταβολὴν, ἀλλ᾽ ἐν τῷ πά-

σχον-

ΙΩΑΝΝΙΝΑ 2006

χοντι. ὅθεν ἀνάγκη προϋποκεῖσθαί τι, ὃ διὰ κινήσεως μεταβαλὸν ἐξομοιοῦται τῷ ποιοῦντι. ἐπειδὴ τοιγαροῦν ἅπαν κατὰ φύσιν ποιοῦν διὰ συμβεβηκότων ἐνεργεῖ, τὰ δὲ συμβεβηκότα οὐχ ὑφέστηκεν ὑποκειμένου δίχα, ἀναγκαῖόν ἐστι πάσῃ φύσει προϋποτίθεσθαί τι ἐν ὑποκειμένου λόγῳ. κείσθω τρίτον, ὅτι ὀρθῶς εἰπεῖν δυνάμεθα ἁπλῶς γίνεσθαι τὰ γινόμενα. πρῶτον γὰρ τὸ εἶδος ἀνακόπτει ὅλον, ὃ καὶ μᾶλλον οὐσία ἐστὶν ὡς συνιστῶν τὰ πράγματα, εἶτα καὶ ἡ ὕλη καίτοι μὴ ἁπλῶς γίγνεται, ἀλλ' ὅμως τὴν τε ὕπαρξιν λαμβάνει, καὶ τοιάδε καθίσταται διὰ τοῦ εἴδους. πρὸς δὲ τοὺς ἀντικειμένους λόγους ῥᾳδίως ἀπαντῶμεν. πρὸς γὰρ τὸ πρῶτον εἰρήσθω, ὅτι ἁπλῶς λέγεται γίγνεσθαι τὸ γινόμενον, οὐχ ὅτι ἐκ τοῦ μηδενός, ἀλλ' ὅτι γίγνεται τοιοῦτον, οἷον οὐκ ἦν πρότερον. πρὸς τὸ δεύτερον φαμέν, ὅτι τὸ εἶδος οὐ λέγεται γίγνεσθαι κυρίως, ἀλλὰ τὸ σύνθετον. πῶς δὲ καὶ αὐτὰ τὰ εἴδη γίγνεται, οὐκ ἀμοιρεῖ θαυμασμοῦ. ὅθεν ᾠήθησάν τινες πλάττεσθαι Θείᾳ Δυνάμει παρὰ τοῦ ποιοῦντος. ἀλλ' ἀφέντες τούτους ληρεῖν ὅπως ἂν βούλοιντο, ἱκανὰ νομίζομεν εἰς φύσιν εἰδῶν αὐτὸ δὴ τὸ ποιοῦν καὶ τὸ πάσχον, τὸ μὲν μεταβαλλόμενον, τὸ δὲ μεταβάλλον. πρὸς τὸ τρίτον ἀτόπως συμπεραίνεται, ὅτι ἐπειδὴ γίγνεται τὸ εἶδος μᾶλλον ἐν οὐσίᾳ, φυήσεται καὶ ἡ ὕλη. τὸ γὰρ εἶδος ἐξ ὑποκειμένης γίνεται τῆς ὕλης, αὐτὴ δὲ ἡ ὕλη οὐκ ἐνδέχεται ἐξ ἄλλου γίνεσθαι, εἴη γὰρ πρὸ τῆς ὕλης ἑτέρα ὕλη. ἀλλ' οὐδὲν εἶδος ἁπλῶς ἄνευ ὑποκειμένου γίνεται, ἀλλ' ἀεὶ παρὰ τοῦ ποιοῦντος ἐν ὑποκειμένῳ τινὶ παράγεται, οἷον τὸ φῶς ἐν ἀέρι παρὰ τοῦ Ἡλίου, καὶ τὰ αἰσθητὰ εἴδη παρὰ τῶν ἀντικειμένων, ἔν τε τῷ μέσῳ καὶ τοῖς αἰσθητηρίοις. πρὸς δὲ τὸ τέταρτον φαμέν, ὅτι τὸ γινόμενον γίνεται μὲν ἐξ ὄντος τινὸς ἐντελεχείᾳ, ἀλλ' οὐχ ᾗ τοιοῦτον, ἀλλ' ᾗ δυνάμει, ὅθεν καὶ μένει οὐχ ᾗ ἐνεργείᾳ, ἀλλ' ᾗ δυνάμει μόνον καὶ ὕλη ἐν τῷ γινομένῳ. τοιγαροῦν τῷ λόγῳ τῆς φύσεως, ἐκ μόνου τοῦ δυνάμει ὄντος γίνεται τὸ ἐντελεχείᾳ, τῷ δὲ λόγῳ τοῦ ποιοῦντος τοῦ διατιθεμένου τῇ ἀλλοιώσει τὸ πάσχον προϋπόκειται πάσῃ φύσει τὸ ἐντελεχείᾳ ὄν. τῆς γὰρ ἀλλοιώσεως ὑποκείμενον ἐστὶν οὐ τὸ δυνάμει ὄν, ἀλλὰ τὸ ἐντελεχείᾳ.



ΙΩΑΝΝΙΝΑ 2006